καὶ περισσεία γνώσεως τῆς σοφίας
ζωοποιήσει τὸν παρ᾿ αὐτῆς.
13 ἰδὲ τὰ ποιήματα τοῦ θεοῦ·
ὅτι τίς δυνήσεται τοῦ κοσμῆσαι
ὃν ἂν ὁ θεὸς διαστρέψῃ αὐτόν;
14 ἐν ἡμέρᾳ ἀγαθωσύνης ζῆθι ἐν ἀγαθῷ
καὶ ἐν ἡμέρᾳ κακίας ἰδέ·
καί γε σὺν τοῦτο σύμφωνον τούτῳ
ἐποίησεν ὁ θεὸς περὶ λαλιᾶς,
ἵνα μὴ εὕρῃ ὁ ἄνθρωπος ὀπίσω αὐτοῦ μηδέν.
15 Σὺν τὰ πάντα εἶδον ἐν ἡμέραις ματαιότητός μου·
ἔστιν δίκαιος ἀπολλύμενος ἐν δικαίῳ αὐτοῦ,
καὶ ἔστιν ἀσεβὴς μένων ἐν κακίᾳ αὐτοῦ.
16 μὴ γίνου δίκαιος πολὺ
καὶ μὴ σοφίζου περισσά, μήποτε ἐκπλαγῇς.
17 μὴ ἀσεβήσῃς πολὺ καὶ μὴ γίνου σκληρός,
ἵνα μὴ ἀποθάνῃς ἐν οὐ καιρῷ σου.
18 ἀγαθὸν τὸ ἀντέχεσθαί σε ἐν τούτῳ,
καί γε ἀπὸ τούτου μὴ ἀνῇς τὴν χεῖρά σου,
ὅτι φοβούμενος τὸν θεὸν ἐξελεύσεται τὰ πάντα.
19 Ἡ σοφία βοηθήσει τῷ σοφῷ
ὑπὲρ δέκα ἐξουσιάζοντας τοὺς ὄντας ἐν τῇ πόλει·
20 ὅτι ἄνθρωπος οὐκ ἔστιν δίκαιος ἐν τῇ γῇ,
ὃς ποιήσει ἀγαθὸν καὶ οὐχ ἁμαρτήσεται.
21 καί γε εἰς πάντας τοὺς λόγους, οὓς λαλήσουσιν,
μὴ θῇς καρδίαν σου,
ὅπως μὴ ἀκούσῃς τοῦ δούλου σου καταρωμένου σε,
22 ὅτι πλειστάκις πονηρεύσεταί σε
καὶ καθόδους πολλὰς κακώσει καρδίαν σου,
ὅπως καί γε σὺ κατηράσω ἑτέρους.

$12^2$ της σοφιας] τη -ια S*† | $12^3$] pr. η σοφια S | τον παρ αυτης (cf. 5 10)] τον εχοντα αυτην S^c^V || $13^2$ του > BS*† || $14^1$ εν ημερα αγαθωσυνης] est stichus singularis in B, ad 13 trahit et αυτου add. S | ζηθι εν αγ. cum $14^2$ iungit B | αγαθω] -θωσυνη S*† | $14^2$ εν ημ. κακ. ιδε *O*†] pr. ιδε et ιδε alterum ad $14^3$ trahunt BS*A, ιδε εν ημ. κακ. S^c^V | $14^3$ συν τουτο Ra. (cf. 2 12)] συν τουτω B†, τουτο rel. | συμφωνως B† | τουτω] -το B (ad $14^4$ tractum) | $14^4$ εποι.] pr. ο S | $14^5$ ο > SA | μηδεν] ουδεν B† || $15^1$ συν τα παντα (cf. 3 11)] συν > B, τα > AS^c^, + α S^c^† | $15^2$ απολλυομενος A†: cf. 7 || $16^1$ πολυ] pr. επι S | $16^2$ και μη] μηδε BS || $17^1$ σκληρος: sic mss.; σκλ = סכל, cf. 25 || $18^2$ μη ανης La† (cf. Field)] μη μιανης BSA | $18^3$ φοβουμενος] pr. ο A, -νοις B || $19^2$ οντας > S || $21^1$ τους compl.] > BSA | ους > S† | λαλησ.] + ασεβεις BS* | $21^2$ θης] δως S || $22^{1.2}$ sunt duae interpretationes eiusdem textus | $22^2$ καρδια B† | $22^3$ οπως compl.] οτι ως BS*A (S^c^ om. ως) | συ] pr. ως S† (S^c^ retinet ως hoc loco)